eul_wid: ggs-ab

*Θεόφιλος ὁ κωμικός* · Theophilus the Comic Poet

# Comic Fragments on Dining and Excess

*Ἀποσπάσματα περὶ Δείπνων καὶ Ἀκολασίας*

**Period:** *Κλασική* Classical
**Dialect:** *Κωμῳδία Ἀττική* Attic Comedy
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1.1 Καί τοι τί φημι καὶ τί δρᾶν βουλεύομαι; προδοὺς ἀπιέναι τὸν ἀγαπητὸν δεσπότην, τὸν
book 1.2 τροφέα, τὸν
book 1.3 σωτῆρα, δι᾽ ὃν εἶδον νόμους Ἕλληνας, ἔμαθον γράμματ᾽, ἐμυήθην θεοῖς;
book 1.1 Τετρακότυλον δὲ κύλικα κεραμέαν
book 1.2 τινὰ τῶν θηρικλείων πῶς δοκεῖς κεραννύει καλῶς, ἀφρῷ ζέουσαν· οὐδ᾽ ἂν Αὐτοκλῆς οὕτως μὰ τὴν γῆν εὐρύθμως τῇ δεξιᾷ[ln_5]ἄρας ἐνώμα.
book 1.1 Ἀτρεστίδας
book 1.2 τις Μαντινεὺς λοχαγὸς ἦν, ἀνδρῶν ἁπάντων
book 1.3 πλεῖστα δυνάμενος
book 1.4 φαγεῖν.
book 1.1 Πᾶς δὲ φιλοτίμως
book 1.2 πρὸς αὐτὸν τῶν νεανίσκων . . . . . . ἐγχέλειον
book 1.3 παρατέθεικε τῷ πατρί. τευθὶς ἦν
book 1.4 χρηστή, πατρίδιον, πῶς ἔχεις
book 1.5 πρὸς κάραβον; ψυχρός ἐστιν, ἄπαγε, φησί· ῥητόρων οὐ γεύομαι.
book 1.1 Μέγας θησαυρός ἐστι καὶ βέβαιος μουσικὴ ἅπασι
book 1.2 τοῖς μαθοῦσι
book 1.3 παιδευθεῖσί τε.
book 1.1 Οὐ συμφέρον νέα ᾽στὶ πρεσβύτῃ γυνή· ὥσπερ γὰρ ἄκατος οὐδὲ μικρὸν
book 1.2 πείθεται ἑνὶ πηδαλίῳ, τὸ πεῖσμ᾽ ἀπορρήξασα δὲ ἐκ νυκτὸς ἕτερον λιμέν᾽ ἔχους᾽ ἐξευρέθη.
book 2.1 Πονηρὸν υἱὸν καὶ πατέρα καὶ μητέρα ἔστι μαγαδίζειν ἐπὶ τροχοῦ καθημένους· οὐδεὶς γὰρ ἡμῶν
book 2.2 ταὐτὸν ᾄσεται μέλος.
book 1.1 [spk_β]Ἑφθῶν μὲν
book 1.2 σχεδὸν
book 1.3

τρεῖς μνᾶς. Β. λέγ’ ἄλλο. Α. ῥυγχίον, κωλῆν, πόδας τέτταρας ὑείους. Β. Ἡράκλεις. Α. βοὸς δὲ τρεῖς, ὄρνιθ’. Β. Ἄπολλον. λέγ’ ἕτερον. Α. σύκων δύο[ln_5]μνᾶς. Β. ἐπέπιες δὲ πόσον; Α. ἀκράτου δώδεκα κοτύλας. Β. Ἄπολλον Ὦρε καὶ Σαβάζιε.

book 2.1 Εἶτ’ ἐν χάρακι μὲν

book 2.2 ταῦτα καὶ παρεμβολῇ.

book 1.1 Καὶ κύλικα * * θηρίκλειον εἰσφέρει

book 1.2 πλέον ἢ κοτύλας

book 1.3 χωροῦσαν ἕπτ’ ἀγαθῆς τύχης.

book 1.1 Τίς

book 1.2 φησι

book 1.3 τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν; ἦ πού τίς ἐστι

book 1.4 τοὺς

book 1.5 τρόπους ἀβέλτερος· εἰ γὰρ ἀφέλοι

book 1.6 τις

book 1.7 τοῦ βίου τὰς ἡδονάς, καταλείπετ’ οὐδὲν ἄλλο

book 1.8 πλὴν

book 1.9 τεθνηκέναι.[ln_5]ἐγὼ μὲν οὖν καὐτὸς κιθαριστρίας ἐρῶν, παιδὸς κόρης, οὐ νοῦν ἔχω

book 1.10 πρὸς τῶν θεῶν; κάλλει καλῆς, μεγέθει μεγάλης, τέχνῃ σοφῆς· ἥν ἐστ’ ἰδεῖν ἥδιον, ἢ τὸ θεωρικὸν ἔχουσιν ὑμῖν διανέμειν ἑκάστοτε.

book 2.1 Τοῦ μή ποτ’ αὐτὸν ἐμπεσεῖν εἰς Λαΐδα

book 2.2 φερόμενον ἢ Μηκωνίδ’ ἢ Σισύμβριον ἢ Βάραθρον ἢ Θάλλουσαν, ἢ τούτων

book 2.3 τινὰ ὧν ἐμπλέκουσι

book 2.4 τοῖς λίνοις αἱ μαστροποί,[ln_5]ἢ Ναννάριον ἢ Μαλθάκην.

Eulogikon public reading copy · View original HTML at eulogikon.org